November 20 - **John 10:1-10**
**The Sheep Listen to Their Shepherd**
**I Am the Sheep's Door**

| English | Greek |
|---|---|
| 1 “Most certainly, I tell you, one who doesn’t enter by the door into the sheep fold, but climbs up some other way, is a thief and a robber. | 1 Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν ἐκεῖνος κλέπτης ἐστὶν καὶ λῃστής· |
| 2 But one who enters in by the door is the shepherd of the sheep. 3 The gatekeeper opens the gate for him, and the sheep listen to his voice. He calls his own sheep by name, and leads them out. 4 Whenever he brings out his own sheep, he goes before them, and the sheep follow him, for they know his voice. | 2 ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστιν τῶν προβάτων. 3 τούτῳ ὁ θυρωρὸς ἀνοίγει καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει καὶ τὰ ἴδια πρόβατα φωνεῖ κατ’ ὄνομα καὶ ἐξάγει αὐτά. 4 ὅταν τὰ ἴδια πάντα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασιν τὴν φωνὴν αὐτοῦ· |
| 5 They will by no means follow a stranger, but will flee from him; for they don’t know the voice of strangers.” | 5 ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν, ἀλλὰ φεύξονται ἀπ’ αὐτοῦ, ὅτι οὐκ οἴδασιν τῶν ἀλλοτρίων τὴν φωνήν. |
| 6 Jesus spoke this parable to them, but they didn’t understand what he was telling them. 7 Jesus therefore said to them again, “Most certainly, I tell you, **I am the sheep’s door.** | 6 Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. 7 Εἶπεν οὖν πάλιν [ὁ] Ἰησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν· **ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων.** |
| 8 All who came before me are thieves and robbers, but the sheep didn’t listen to them. 9 **I am the door.** If anyone enters in by me, he will be saved, and will go in and go out, and will find pasture. | 8 πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ κλέπται εἰσὶν καὶ λῃσταί, ἀλλ’ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. 9 **ἐγώ εἰμι ἡ θύρα·** δι’ ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει. |
| 10 The thief only comes to steal, kill, and destroy. I came that they may have life, and may have it abundantly. | 10 ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσιν καὶ περισσὸν ἔχωσιν. |







English text: World English Bible (public domain) Greek text: Westcott-Hort Greek New Testament (public domain)
Graphics: Copyright Stéphane Tibi and his licensors. All rights reserved. www.studymaps.org